La véritable explication de cette confusion, c'est que ni Philopon, ni Simplicius n'avaient plus un accès direct aux écrits authentiques d'Aristote, le περὶ τἀγαθοῦ et le περὶ φιλοσοφίας. Ceux-ci étaient déjà „perdus" pour eux et ils n'en connaissaient que ce que leurs prédécesseurs en avaient cité, ou ce que la tradition néopythagoricienne leur avait transmis en le déformant et en l'adaptant. Pour ce qui est de la théorie des grandeurs idéales, ils avaient des témoignages attestant que Platon avait élaboré une telle doctrine, qu'elle avait été consignée dans le περὶ τἀγαθοῦ d'Aristote et d'autres Platoniciens, rien de plus normal pour eux que de rapporter cette doctrine à cet écrit. Mais ce qu'ils ne savaient plus, c'est que cette doctrine était rappelée au deuxième livre du περὶ φιλοσοφίας, comme les textes d'Alexandre d'Aphrodise et celui du *De anima* en font foi. La tradition sur ce point s'est perdue de très bonne heure; ces spéculations ne répondaient plus aux besoins religieux et mystiques de la période hellénistique, seuls des petits groupes d'initiés, d'abord néopythagoriciens, ensuite néoplatoniciens, élaborèrent progressivement en la déformant cette métaphysique du vieux Platon en une théologie profane, dont la somme devait être l'*Institutio theologica* de Proclus [1]). Aussi le témoignage de ces derniers Com-

---

[1]) L'influence prépondérante du néopythagorisme sur la philosophie aux tout premiers siècles de notre ère a été remarquablement mise en évidence par E. R. Dodds, *The* Parmenides *of Plato and the Origin of the Neoplatonic ‚One'* dans *Class. Quart.* 22 (1928) 129-142 (surtout 140-142) et dans son édition de Proclus, *The Elements of Theology*, Oxford 1933, pp. XXIV s. et 257-260. Dodds s'est borné à l'étude du principe de l'„un"; notre étude montre que c'est tout le système des Nombres-Idées qui fut assumé par le néopythagorisme et transformé par lui. Comme l'ont montré M. J. Carcopino (*La basilique pythagoricienne de la Porte Majeure*, Paris 1927) et Fr. Cumont (*Lux perpetua*, Paris 1949), l'influence du néopythagorisme a été surtout une influence religieuse. Cependant d'autres rapprochements dans le domaine purement littéraire, que l'on a pu soutenir avec succès, en particulier pour Virgile, cf. J. Carcopino, *Virgile et le mystère de la IVe égloge*, Paris 1930, surtout pp. 30-105 et P. Maury, *Le secret de Virgile et l'architecture des Bucoliques*, dans *Lettres d'humanité*, 3 (1944) 71-147, constituent autant de signes de l'influence énorme qu'a exercé le renouveau pythagoricien sur les esprits aux alentours de l'ère chrétienne. Tous ces rapprochements littéraires et doctrinaux supposent l'existence de textes aujourd'hui perdus. Sur l'existence d'une littérature aristotélicienne pseudépigraphique dans le néoplatonisme, nous avons au moins un témoignage dans une lettre de l'empereur Julien à Priscus, un émule de Jamblique (éd. Bidez-Cumont, Paris

mentateurs grecs doit être accueilli avec une certaine réserve. Sans doute ils se sont trompés et nous comprenons pourquoi, mais nous devons reconnaître que sans les patientes recherches menées depuis un siècle, nous penserions peut-être encore comme eux.

Aussi bien la lumière complète n'est pas encore faite; mais si nous entrevoyons dans quel sens il faut chercher, c'est en répondant positivement à notre question du début et en rendant au vieux Platon la paternité de la doctrine sur la déduction du ζῷον et de l'âme à partir des nombres idéaux, telle qu'il devait l'exposer comme personnage du dialogue περὶ φιλοσοφίας et telle qu'Aristote, se citant lui-même, la rappelle au premier livre du *De anima*.

1922, p. 15. 20 ss.): „Quant aux recueils d'extraits d'Aristote que tu as composés, voici ce que j'ai à t'en dire, ni plus ni moins: tu as fait de moi ton disciple pseudépigraphe (πεποίηκάς με ψευδεπίγραφον εἶναί σου μαθητήν) .....", ce que Bidez (*Un singulier naufrage littéraire dans l'antiquité*, Bruxelles 1943, p. 31) commente: Julien veut dire que, s'il est devenu nominalement l'élève d'Aristote, c'est de Priscus qu'il l'est en réalité, puisque c'est par l'intermédiaire de Priscus que le maître (Aristote) lui a parlé. On connaît, d'autre part, les textes rassemblés autrefois par Bywater (*Journ. of Philol.* 1 [1868] 24-25) qui prouvent l'existence de faux néopythagoriciens et néoplatoniciens, vers le Ier s. av. J.-C., dans les grands centres intellectuels de Pergame et d'Alexandrie (Galien, *In Hipp. de nat. hom.*, *Comment. II*, 108-109 dans le *Corpus Medic. Gr.* V 9, 1, p. 57. 12-16 [Mewaldt]) et à la cour africaine d'un mécène littéraire, Juba II, roi de Mauritanie (Elias, *In cat.*, *Prooem.*, p. 128. 1-22 [Busse]). De plus, l'ardeur que l'on met encore à la fin du IIIe s. à montrer que Platon a plagié des écrits pythagoriciens plus anciens que lui (voir Porphyre, *Vit. pyth.*, 53, p. 46. 12-19 [Nauck] et *ap.* Eusèbe, *Prep. Ev.*, X 3, 24, I, p. 539. 10-22 [Dindorf]) témoigne encore à sa manière de ce „barbarized Platonism which had become associated with the name of Pythagoras", comme l'écrit Bywater. Déjà au temps de Cicéron, cette association des noms de Platon et de Pythagore était admise; cf. *De re p.*, I x, 16: *Quem enim auctorem de illo locupletiorem Platone laudare possumus? cuius in libris multis locis ita loquitur Socrates, ut etiam, cum de moribus, de virtutibus, denique de re publica disputet, numeros tamen et geometriam et harmoniam studeat Pythagorae more coniugere .... Platonem .... in Italiam et in Siciliam contendisse, ut Pythagorae inventa perdisceret, eumque et cum Archyta Tarentino et cum Timaeo Locro multum fuisse et Philoleo commentarios esse nanctum, cumque eo tempore in his locis Pythagorae nomen vigeret, illum se et hominibus Pythagoreis et studiis illis dedisse. itaque .... leporem Socraticum subtilitatemque sermonis cum obscuritate Pythagorae et cum illa plurimarum artium gravitate contexuit.* Ceci a été écrit entre 54 et 51 av. J.-C.

IV

Pour conclure, il suffira de relire le texte du *De anima* à la lumière de nos commentaires antérieurs, en prenant à notre tour position sur le sens des expressions αὐτὸ τὸ ζῷον et τὰ δ' ἄλλα que nous avons volontairement traduites jusqu'à maintenant d'une manière vague par „le Vivant en soi" et „le reste".

Nous avons fait ressortir plus haut (p. 24 et n. 1) à la fois le parallélisme des deux premières phrases (404 b 16-18 et 18-21) et le fait que ce parallélisme n'est pas parfait. Ces ressemblances et ces différences expriment d'une manière très nuancée la pensée d'Aristote. La première phrase au style direct transcrit une opinion de Platon dans le *Timée*, la seconde, dans une tournure passive plus impersonnelle, donne une doctrine d'un Platon qu'Aristote lui-même faisait parler dans le περὶ φιλοσοφίας. Pourtant c'est le même Platon et les doctrines sont parfaitement cohérentes. La ψυχή dont le *Timée* nous livre la fabrication, c'est ce que nous appelons improprement „l'âme du monde", il faudrait dire, c'est l'âme du Vivant complet, ce „macrozôon", objet de toute la première partie du *Timée*, qui doit nous instruire par le biais de l'homologie macro-micro, sur ce „microzôon" qu'est l'homme, auquel le *Timée* est tout entier consacré. Il fallait donc, d'après le principe de la connaissance du semblable par le semblable, et dans la ligne de la métaphysique des ἀρχαί du vieux Platon, il fallait nécessairement aussi déduire ce „Vivant en soi" des principes premiers que sont les nombres idéaux. On peut discuter sur la portée d'une telle doctrine, on ne peut nier qu'elle soit dans la logique de toute la philosophie de Platon.

Ainsi donc nous croyons que, par cette expression, αὐτὸ τὸ ζῷον, Aristote vise le Vivant du *Timée*. Ce Vivant est l'idée et le paradigme du vivant, celui qui contient en lui-même, comme archétype, tous les vivants particuliers; comme on l'a bien marqué [1]), il est

---

[1]) H. Cherniss, *Aristotle's Criticism* . . ., pp. 574-578. Nous utilisons ici les excellentes remarques de Cherniss, que nous ne pouvons malheureusement pas suivre jusqu'en ses dernières conclusions.

à la fois plus et moins que le monde des Idées. Sans doute, il ne comprend pas toutes les Idées, mais il assume aussi en lui quelque chose qui est plus que les idées des choses, la vie elle-même et ce qui fait un organisme s'exerçant sous la loi de l'Un, du Bien et du Beau. Notons bien que αὐτὸ τὸ ζῷον est l'équivalent strict de τὸ ὅ ἔστι ζῷον (*Tim.* 39 E 8) [1]), expressions techniques de la philosophie platonicienne et qui défient toute traduction. Maintenant, que le ζῷον du *Timée* ait été indûment identifié par les Commentateurs avec le κόσμος νοητός, de même que notre αὐτὸ τὸ ζῷον du περὶ φιλοσοφίας et du *De anima*, c'est là une preuve manifeste que ces deux expressions ont été comprises comme désignant la même réalité, c'est-à-dire que la tradition ancienne lisait bien dans le mot d'Aristote le ζῷον même de Platon. Plotin est un témoin sûr de cette interprétation du τὸ ὅ ἔστι ζῷον en κόσμος νοητός [2]), les Commentateurs ultérieurs, sachant d'une part que le αὐτὸ τὸ ζῷον du *De anima* devait désigner le ζῷον du *Timée*, et se fondant sur cette exégèse du *Timée*, classique dans le Néoplatonisme, interprétèrent à leur tour le mot du *De anima* par le κόσμος νοητός de Plotin. Ainsi Jamblique [3]),

---

[1]) Voir Cherniss, *ibid.*, p. 309-310, n. 211. Sauf que l'on se serait attendu à la forme τὸ αὐτοζῷον, qui est celle qui a été rétablie par les Commentateurs. Le mot, sauf erreur, n'existe pas chez Platon; il est employé une fois par Aristote (*Top.* V 7, 137 b 11), qui partout ailleurs a αὐτὸ τὸ ζῷον (*Met.* Z 14, 1039 b 9-16 et frgt. 189, p. 152, 18 R.[3] = Alex., *In met.*, p. 98. 13-14 [Hayduck]) ou τὸ ζῷον αὐτό (*Met.* M 9, 1085 a 26) ou αὐτό τι ζῷον (*Met.* H 6, 1045 a 16) ou αὐτὸ ζῷον (*Top.* VI 6, 143 b 31). Il semble résulter de cette diversité de formules qu'il n'existait pas dans le platonisme tardif un mot consacré pour désigner l'idée du vivant, le mot τὸ ζῷον avait suffi à Platon. Mais ce n'était pas être infidèle à la pensée du Maître que d'ajouter αὐτό à τὸ ζῷον, surtout si l'on entendait αὐτό comme marquant l'autonomie transcendante du Vivant parfait „en soi", objet seulement d'une pure saisie intellectuelle, distingué de ses multiples réalisations sensibles et particulières. Sur ce sens, cf. E. Kapp, *Greek Foundations of traditional Logic*, New York 1942, pp. 34-36. D'autre part, on peut penser que ce fut pour ne pas risquer une équivoque que l'on évita le mot τὸ αὐτοζῷον, si l'on note que, d'après un passage doxographique de Philopon (*In de an.*, p. 165. 18 ss. [Heinze] = frgt. 65 du *Xenokrates* de Heinze), il semble que Xénocrate se soit servi du mot αὐτόζωον pour désigner l'âme elle-même. Ce mot forgé, comme αὐτοκινητόν, sur l'adjectif ζωόν aurait le sens de „qui a la vie par soi-même", et exprime, dans le raccourci d'une formule, une doctrine purement platonicienne: cf. *Phédon* 105 C-E, Albinus, *Didask.* 25, p. 177. 16-17 (Hermann).

[2]) Pour l'exégèse de *Tim.* 39 E par Plotin, voir *Enn.* II 9, 6. 17-18; III 2, 3. 23-26; III 9, 1. 1-2; IV, 8, 1. 46-50; V 9, 9. 8; VI 6, 7. 15; VI 6, 8. 17-20.

[3]) Cf. *supra*, p. 36 et n. 3.

Thémistius [1]) et Simplicius [2]). Cependant Philopon nous est un témoin d'une autre exégèse où l'allusion au *Timée* est évidente, puisqu'il définit le αὐτοζῷον comme αὐτὴ ἡ ἰδέα τοῦ ζῴου καὶ τὸ παράδειγμα (p. 77. 6) et qu'il nous dit qu'il comprend en lui les quatre espèces mêmes de vivants énumérées dans *Tim.* 39 E-40 A: les dieux célestes, l'espèce ailée aérienne, l'espèce aquatique et l'espèce qui vit sur la terre et qui marche (p. 77. 26-27). Ici l'exégèse est irrécusable et nous montre sans doute possible que αὐτὸ τὸ ζῷον désigne le „Vivant en soi" du *Timée.*

Ceci étant admis, il est clair qu'il était parfaitement logique pour le vieux Platon de composer la plus haute et la plus ultime réalité du monde physique à partir des principes les plus élevés de sa métaphysique: les quatre premiers nombres idéaux, sources et comme essences de toutes les figures mathématiques dont le monde des vivants nous révèle l'extraordinaire variété. Reste la petite phrase: τὰ δ' ἄλλα ὁμοιοτρόπως [3]). Le ζῷον étant l'espèce la plus générale et compréhensive de tout le reste, c'est tout ce reste qui se trouve ainsi désigné. Ce τὰ ἄλλα rappelle ceux du *Timée* (30 C 7 et 39 E 3), mais son extension peut être plus grande encore et viser à la fois les êtres animés et les êtres inanimés. Ici le ζῷον est l'être par excellence, et tout ce qui est se subordonne au Vivant [4]).

Même théorie pour l'âme, qui suit (ἔτι δὲ ...) le ζῷον dans cette déduction à partir des principes. Mais avec cette différence (καὶ ἄλλως) que l'âme est recomposée à partir de ses différentes puis-

---

[1]) Thémistius ne fait que reprendre l'exégèse du texte du soi disant Xénocrate qu'il a cité, cf. *supra*, p. 41. M. Cherniss voudrait y voir un ajout de Thémistius lui-même (*Aristotle's Criticism* ..., p. 578), mais il semble plus probable d'y trouver une nouvelle raison pour considérer ce texte comme pseudépigraphique.

[2]) Simplicius, *In de an.*, p. 29. 16 . . . τὸν νοητὸν δηλοῦν διάκοσμον.

[3]) Cette formule est une expression toute faite couramment employé par Aristote. Cf. *De interpretatione* 12, 21 b 25-26, *De insomniis* 3, 461 a 29-30. On peut penser, si l'on veut, que cette formule abrège une citation plus longue. Il y en a d'autres cas dans le *De anima* comme l'a montré M. de Corte, *Notes critiques sur le „de Anima" d'Aristote* dans *Rev. Ét. Grecques* 45 (1932) 163 ss.

[4]) Nous avons en Aristote (*Met.* N 1, 1088 a 10-11) une énumération qui peut nous donner une idée de ce que comprend τὰ ἄλλα: εἰ δ' ἄνθρωπος καὶ ἵππος καὶ θεός, ζῷον ἴσως, καὶ ὁ ἀριθμὸς αὐτῶν ἔσται ζῷα. Chez Platon, dans le couple στοιχεῖα—τἄλλα, ce τἄλλα a une valeur analogue, cf. *Théét.* 201 E et 205 C, *Crat.* 422 A; chez Aristote τἄλλα est synonyme de τὰ ὑποκείμενα dans le sens de: *singulae res quae universali notioni sunt subjectae* (Bonitz, *in Met.*, II, p. 48), cf. *Met.* A 2, 982 b 2-4, *Protrept.* frgt. 5 a (Walzer) p. 29. 2-4, etc.

sances, lesquelles sont également assimilées aux quatre premiers nombres idéaux, mais pour des raisons purement psychologiques, qui ne sont, d'ailleurs, indiquées ici que très brièvement. Et après le στερεοῦ de la ligne 24, il faut mettre un point en bas, — et non pas un point en haut, comme tous les éditeurs, — parce que la citation de Platon est finie et que commence le commentaire (γάρ) d'Aristote.

Nous concluons donc que nous sommes en présence d'une interprétation authentique du *Timée* par Platon lui-même, en fonction de sa dernière métaphysique dans laquelle les Idées étaient véritablement des nombres [1]), mais des nombres idéaux nettement distincts des nombres mathématiques; cette métaphysique aboutissait à une vue de sagesse achevée sur l'Être et sur le Monde. C'est sur l'arrière plan de cette *Weltanschauung* qu'Aristote a écrit le περὶ φιλοσοφίας, les premiers livres de la *Métaphysique* et peut-être aussi le livre Λ [2]).

---

[1]) Cp. E. Franck, *Plato und die sogenannten Pythagoreer*, Halle 1923, pp. 113-114.

[2]) C'est du moins une conclusion que l'on peut inférer de l'article de M. Ph. Merlan, cité *supra*, p. 15, n. 2, et qui mériterait d'être solidement établie, eu égard principalement aux nombreux textes énigmatiques de *De an.* III, qui font difficulté dans l'hypothèse d'une date ancienne.

APPENDICE I

Pour être tout à fait complète, l'enquête que nous avons menée devrait aussi s'étendre aux traductions et aux plus anciens commentaires arabes. La version latine du commentaire d'Averroès (*In de an.*, ed. Lugd. 1542, *text.* 26 et 27) semble bien révéler qu'il est entièrement dépendant dans son exégèse des grands Commentateurs grecs du VIe s. D'autre part, je dois à l'aimable obligeance du Dr. R. Walzer, l'indication que le commentaire d'Al-Kindi ne saurait être d'aucun secours. Cependant le R. P. Anawati, O.P. vient de découvrir un manuscrit d'une traduction ancienne encore inédite d'Ishāq b. Hunayn (IXe s.): MS. Istanbul, Aya Sofya 2450. Il a bien voulu nous communiquer sa collation du passage qui nous intéresse, ce dont nous le remercions bien vivement. Nous reproduisons ci-dessous une partie de ce texte avec la traduction française:

ولذلك يقول افلاطون فى كتابه الى طيماوس ان النفس من العناصر وانما يعرف
الشيء غيره بما فيه مما يشبه المعروف عنده وان الاشياء انما تكون عن
اوائلها وكذلك فصل قوله فى الحيوان فى كتابه الذى وضع فى كلام الفلسفة
فقال ان الحيوان . . . .

„C'est pourquoi Platon dit dans son livre, le *Timée*, que l'âme est (faite) à partir des éléments; car une chose connaît une autre par ce qu'il y a en elle qui ressemble à la chose qu'elle connaît et les choses existent à partir de leurs principes. Et de même, il a exposé son opinion au sujet du vivant dans le livre qu'il a composé sur le discours de la philosophie; il dit que le vivant..."

Cette traduction paraphrase visiblement le texte d'Aristote, mais cette paraphrase est précieuse, car elle manifeste indubitablement que, dans l'esprit du traducteur arabe, Aristote se réfère successivement à deux *livres*, le premier est cité par son titre, le *Timée*, quant au second, il semble bien que le traducteur ait voulu rendre par l'expression *fi kalām al-falsafa* le titre περὶ φιλοσοφίας [1]).

[1]) Cf. *Addenda*, p. 70.

Qu'Aristote ait bien voulu citer ici aussi un ouvrage par son titre, c'est ce que révèle un examen attentif de la formule de citation. Il faut remarquer que les traductions qui ont été données de cette formule impliquent que le traducteur a lu λόγοις dans λεγομένοις, comme en témoigne cette liste de quelques traductions parmi les plus marquantes proposées depuis cinquante ans.

Rodier (1900)
De même encore, il a été exposé, dans les discours sur la philosophie, ...

Hicks (1907)
In like manner it was explained in the lectures on philosophy, ...

Busse (1911)
Ähnliche Angaben enthält auch die Schrift: Uber die Philosophie,...

Smith (*Oxford Transl.* 1931)
Similarly also in his lectures „On Philosophy" it was set forth ...

Tricot (1934)
De même aussi, dans ses leçons sur la Philosophie, on trouve établi ...

Gohlke (1947)
Ähnlich bestimmte er in den Vorlesungen über Philosophie ...

Autant de formules qui semblent bien escamoter la difficulté que constitue le mot λεγομένοις. Or nous avons dans la *Physique* un parallèle intéressant pour cette formule de citation, c'est justement la référence aux ἄγραφα δόγματα de Platon: ἐν τοῖς λεγομένοις ἀγράφοις δόγμασιν (*Phys.* IV 2, 209 b 14-15), ce que l'on peut traduire: „dans (l'ouvrage) que l'on appelle ἄγραφα δόγματα", appellation en vérité fort insolite et qui, en effet, n'a pu être consacrée que par l'usage dans l'école académicienne. On se souvient d'autre part des premiers mots du traité περὶ διαίτης ὀξέων dans le *Corpus hippocraticum*: οἱ συγγράψαντες τὰς Κνιδίας καλεομένας γνώμας ..., traduits par W. H. S. Jones: „The authors of the work entitled *Cnidian Sentences* ..." (*Hippocrates*, vol. II, pp. 62 s., Loeb Classical Library). Pour ce qui est de notre citation du *De anima*, il semble bien qu'il faut sous-entendre λόγοις et interpréter λεγομένοις dans le même sens que celui de la *Physique*; on lira donc: ἐν τοῖς περὶ φιλοσοφίας λεγομένοις <λόγοις>. Et il est bien naturel de penser que cette désignation pour un dialogue n'a pu être consacrée que par l'usage. Sauf erreur, tous les dialogues de Platon et des Socratiques, (au moins ceux que nous connaissons encore), portaient pour titre le nom du ou de l'un des personnages

du dialogue, en général le personnage principal. On a vu, cf. *supra* p. 22, que Platon était peut-être le personnage principal du dialogue et il était sans doute difficile, voire impossible, d'intituler un écrit du nom même du maître, celui-ci étant encore vivant ou même disparu depuis peu. Mais sans préjuger du titre donné par Aristote à son dialogue, sans même se demander si ce dialogue a été effectivement „publié" par son auteur dès sa composition, toutes questions absolument insolubles, le fait que l'usage aurait lui-même déterminé ce titre étrange pour un dialogue, (on sait combien les Anciens avaient plus que nous le sens des genres littéraires), justifie pleinement cet emploi du mot λεγομένοις. (C'est d'ailleurs le sens courant de ce qualificatif, cf. Liddell-Scott-Jones, *s.v.* λέγω III, 10). Finalement la meilleure traduction, bien qu'elle implique une précision qui n'est pas dans le texte, semble être: *dans l'ouvrage intitulé* „Sur la philosophie". C'est cette traduction, à laquelle nous nous étions arrêté spontanément, que nous maintenons dans notre texte.

APPENDICE II

TEXTES

I

Aristote, *Métaphysique* N 2-3, 1090 a 2-1091 a 12 Ross; cf. *supra*, pp. 26 ss.

1090 a 2 ἐπιστήσειε δ' ἄν τις τὴν
σκέψιν καὶ περὶ τῶν ἀριθμῶν πόθεν δεῖ λαβεῖν τὴν πίστιν ὡς
4 εἰσίν.
4 τῷ μὲν γὰρ ἰδέας τιθεμένῳ παρέχονταί τιν' αἰτίαν
5 τοῖς οὖσιν, εἴπερ ἕκαστος τῶν ἀριθμῶν ἰδέα τις ἡ δ' ἰδέα
τοῖς ἄλλοις αἰτία τοῦ εἶναι ὃν δή ποτε τρόπον (ἔστω γὰρ
ὑποκείμενον αὐτοῖς τοῦτο)· τῷ δὲ τοῦτον μὲν τὸν τρόπον οὐκ
οἰομένῳ διὰ τὸ τὰς ἐνούσας δυσχερείας ὁρᾶν περὶ τὰς ἰδέας
ὥστε διά γε ταῦτα μὴ ποιεῖν ἀριθμούς, ποιοῦντι δὲ ἀριθμὸν
10 τὸν μαθηματικόν, πόθεν τε χρὴ πιστεῦσαι ὡς ἔστι τοιοῦτος
ἀριθμός, καὶ τί τοῖς ἄλλοις χρήσιμος; οὐθενὸς γὰρ οὔτε φη-
σὶν ὁ λέγων αὐτὸν εἶναι, ἀλλ' ὡς αὐτήν τινα λέγει καθ'
αὑτὴν φύσιν οὖσαν, οὔτε φαίνεται ὢν αἴτιος· τὰ γὰρ θεωρή-
ματα τῶν ἀριθμητικῶν πάντα καὶ κατὰ τῶν αἰσθητῶν
15 ὑπάρξει, καθάπερ ἐλέχθη.

Οἱ μὲν οὖν τιθέμενοι τὰς ἰδέας εἶναι, καὶ ἀριθμοὺς αὐτὰς
εἶναι, <τῷ> κατὰ τὴν ἔκθεσιν ἑκάστου παρὰ τὰ πολλὰ λαμβά-
νειν [τὸ] ἕν τι ἕκαστον πειρῶνταί γε λέγειν πως διὰ τί
ἔστιν, οὐ μὴν ἀλλὰ ἐπεὶ οὔτε ἀναγκαῖα οὔτε δυνατὰ ταῦτα,
20 οὐδὲ τὸν ἀριθμὸν διά γε ταῦτα εἶναι λεκτέον· οἱ δὲ Πυθα-
γόρειοι διὰ τὸ ὁρᾶν πολλὰ τῶν ἀριθμῶν πάθη ὑπάρχοντα
τοῖς αἰσθητοῖς σώμασιν, εἶναι μὲν ἀριθμοὺς ἐποίησαν τὰ
ὄντα, οὐ χωριστοὺς δέ, ἀλλ' ἐξ ἀριθμῶν τὰ ὄντα· διὰ τί δέ;
ὅτι τὰ πάθη τὰ τῶν ἀριθμῶν ἐν ἁρμονίᾳ ὑπάρχει καὶ ἐν
25 τῷ οὐρανῷ καὶ ἐν πολλοῖς ἄλλοις. τοῖς δὲ τὸν μαθηματικὸν
μόνον λέγουσιν εἶναι ἀριθμὸν οὐθὲν τοιοῦτον ἐνδέχεται λέγειν
κατὰ τὰς ὑποθέσεις, ἀλλ' ὅτι οὐκ ἔσονται αὐτῶν αἱ ἐπιστῆ-
μαι ἐλέγετο. ἡμεῖς δέ φαμεν εἶναι, καθάπερ εἴπομεν πρό-

τερον. καὶ δῆλον ὅτι οὐ κεχώρισται τὰ μαθηματικά· οὐ γὰρ ἂν κεχωρισμένων τὰ πάθη ὑπῆρχεν ἐν τοῖς σώμασιν. οἱ μὲν οὖν Πυθαγόρειοι κατὰ μὲν τὸ τοιοῦτον οὐθενὶ ἔνοχοί εἰσιν, κατὰ μέντοι τὸ ποιεῖν ἐξ ἀριθμῶν τὰ φυσικὰ σώματα, ἐκ μὴ ἐχόντων βάρος μηδὲ κουφότητα ἔχοντα κουφότητα καὶ βάρος, ἐοίκασι περὶ ἄλλου οὐρανοῦ λέγειν καὶ σωμάτων ἀλλ' οὐ τῶν αἰσθητῶν· οἱ δὲ χωριστὸν ποιοῦντες, ὅτι ἐπὶ τῶν αἰσθητῶν οὐκ ἔσται τὰ ἀξιώματα, ἀληθῆ δὲ τὰ λεγόμενα καὶ σαίνει τὴν ψυχήν, εἶναί τε ὑπολαμβάνουσι καὶ χωριστὰ
1090 b εἶναι· ὁμοίως δὲ καὶ τὰ μεγέθη τὰ μαθηματικά. δῆλον οὖν ὅτι καὶ ὁ ἐναντιούμενος λόγος τἀναντία ἐρεῖ, καὶ ὃ ἄρτι ἠπορήθη λυτέον τοῖς οὕτω λέγουσι, διὰ τί οὐδαμῶς ἐν τοῖς αἰσθητοῖς ὑπαρχόντων τὰ πάθη ὑπάρχει αὐτῶν ἐν τοῖς αἰσθητοῖς.

Εἰσὶ δέ τινες οἳ ἐκ τοῦ πέρατα εἶναι καὶ ἔσχατα τὴν στιγμὴν μὲν γραμμῆς, ταύτην δ' ἐπιπέδου, τοῦτο δὲ τοῦ στερεοῦ, οἴονται εἶναι ἀνάγκην τοιαύτας φύσεις εἶναι. δεῖ δὴ καὶ τοῦτον ὁρᾶν τὸν λόγον, μὴ λίαν ᾖ μαλακός. οὔτε γὰρ οὐσίαι εἰσὶ τὰ ἔσχατα ἀλλὰ μᾶλλον πάντα ταῦτα πέρατα (ἐπεὶ καὶ τῆς βαδίσεως καὶ ὅλως κινήσεως ἔστι τι πέρας· τοῦτ' οὖν ἔσται τόδε τι καὶ οὐσία τις· ἀλλ' ἄτοπον)· οὐ μὴν ἀλλὰ εἰ καὶ εἰσί, τῶνδε τῶν αἰσθητῶν ἔσονται πάντα (ἐπὶ τούτων γὰρ ὁ λόγος εἴρηκεν)· διὰ τί οὖν χωριστὰ ἔσται;

Ἔτι δὲ ἐπιζητήσειεν ἄν τις μὴ λίαν εὐχερὴς ὢν περὶ μὲν τοῦ ἀριθμοῦ παντὸς καὶ τῶν μαθηματικῶν τὸ μηθὲν συμβάλλεσθαι ἀλλήλοις τὰ πρότερα τοῖς ὕστερον (μὴ ὄντος γὰρ τοῦ ἀριθμοῦ οὐθὲν ἧττον τὰ μεγέθη ἔσται τοῖς τὰ μαθηματικὰ μόνον εἶναι φαμένοις, καὶ τούτων μὴ ὄντων ἡ ψυχὴ καὶ τὰ σώματα τὰ αἰσθητά· οὐκ ἔοικε δ' ἡ φύσις ἐπεισοδιώδης οὖσα ἐκ τῶν φαινομένων, ὥσπερ μοχθηρὰ τραγῳδία)· τοῖς δὲ τὰς ἰδέας τιθεμένοις τοῦτο μὲν ἐκφεύγει, — ποιοῦσι γὰρ τὰ μεγέθη ἐκ τῆς ὕλης καὶ ἀριθμοῦ, ἐκ μὲν τῆς δυάδος τὰ μήκη, ἐκ τριάδος δ' ἴσως τὰ ἐπίπεδα, ἐκ δὲ τῆς τετράδος τὰ στερεὰ ἢ καὶ ἐξ ἄλλων ἀριθμῶν· διαφέρει γὰρ οὐθέν, — ἀλλὰ ταῦτά γε πότερον ἰδέαι ἔσονται, ἢ τίς ὁ τρόπος αὐτῶν, καὶ τί συμβάλλονται τοῖς οὖσιν; οὐθὲν γάρ, ὥσπερ οὐδὲ τὰ μαθηματικά, οὐδὲ ταῦτα συμβάλλεται. ἀλλὰ μὴν οὐδ' ὑπάρχει γε κατ' αὐτῶν οὐθὲν θεώρημα, ἐὰν μή τις βούληται κινεῖν τὰ μαθηματικὰ καὶ ποιεῖν ἰδίας τινὰς δόξας. ἔστι δ' οὐ χαλεπὸν

ὁποιασοῦν ὑποθέσεις λαμβάνοντας μακροποιεῖν καὶ συνείρειν. οὗτοι μὲν οὖν ταύτῃ προσγλιχόμενοι ταῖς ἰδέαις τὰ μαθηματικὰ διαμαρτάνουσιν· οἱ δὲ πρῶτοι δύο τοὺς ἀριθμοὺς ποιήσαντες, τόν τε τῶν εἰδῶν καὶ τὸν μαθηματικόν, οὔτ' εἰρήκασιν οὔτ' ἔχοιεν ἂν εἰπεῖν πῶς καὶ ἐκ τίνος ἔσται ὁ μαθηματικός. ποιοῦσι γὰρ αὐτὸν μεταξὺ τοῦ εἰδητικοῦ καὶ τοῦ αἰσθητοῦ. εἰ μὲν γὰρ ἐκ τοῦ μεγάλου καὶ μικροῦ, ὁ αὐτὸς ἐκείνῳ ἔσται τῷ τῶν ἰδεῶν (ἐξ ἄλλου δέ τινος μικροῦ
1091 a καὶ μεγάλου τὰ [γὰρ] μεγέθη ποιεῖ)· εἰ δ' ἕτερόν τι ἐρεῖ, πλείω τὰ στοιχεῖα ἐρεῖ· καὶ εἰ ἕν τι ἑκατέρου ἡ ἀρχή, κοινόν τι ἐπὶ τούτων ἔσται τὸ ἕν, ζητητέον τε πῶς καὶ ταῦτα πολλὰ τὸ ἓν καὶ ἅμα τὸν ἀριθμὸν γενέσθαι ἄλλως ἢ ἐξ ἑνὸς καὶ δυάδος ἀορίστου ἀδύνατον κατ' ἐκεῖνον. πάντα δὴ ταῦτα ἄλογα, καὶ μάχεται καὶ αὐτὰ ἑαυτοῖς καὶ τοῖς εὐλόγοις, καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς λόγος· γίγνεται γὰρ ὁ μακρὸς λόγος ὥσπερ ὁ τῶν δούλων ὅταν μηθὲν ὑγιὲς λέγωσιν. φαίνεται δὲ καὶ αὐτὰ τὰ στοιχεῖα τὸ μέγα καὶ τὸ μικρὸν βοᾶν ὡς ἑλκόμενα· οὐ δύναται γὰρ οὐδαμῶς γεννῆσαι τὸν ἀριθμὸν ἀλλ' ἢ τὸν ἀφ' ἑνὸς διπλασιαζόμενον.

II

Aristote, *Métaphysique* Z 11, 1036 b 13-17 Ross; cf. *supra* pp. 32 s.

1036 b 13 καὶ τῶν τὰς ἰδέας λεγόντων οἱ μὲν αὐτογραμμὴν τὴν δυάδα, οἱ δὲ τὸ εἶδος τῆς γραμμῆς, ἔνια μὲν γὰρ εἶναι τὸ αὐτὸ τὸ εἶδος καὶ οὗ τὸ εἶδος (οἷον δυάδα καὶ τὸ εἶδος δυάδος). ἐπὶ γραμμῆς δὲ οὐκέτι.

III

Thémistius, *In de an.* 404 b 16-30, pp. 10. 23-12. 33 Heinze; cf. *supra*, pp. 37 ss. Les phrases littéralement empruntées à Aristote ont été soulignées.

p. 10. 23 . . . διὰ τοῦτο δὲ τὸν αὐτὸν τρόπον καὶ ὁ Τίμαιος τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ, ἐκ τῆς ἀμερίστου φύσεως καὶ πάντῃ ἀΰλου καὶ ἀσώματου καὶ τῆς περὶ τὰ σώματα μεριστῆς μέσην αὐτὴν συγκεκρᾶσθαι λέγων. τὴν

---

p. 10. 23-24 Arist., *De an.* 404 b 16-17.

μὲν οὖν ἀμέριστον καὶ ἄυλον ἥντινα λέγει, μᾶλλον ἄν τις ὑπονοήσειεν· περὶ δὲ τὰ σώματα μεριστὰς εἰ μὲν τὰς πρώτας λέγοι ποιότητας, οἷον ὑγρότητα καὶ ξηρότητα καὶ τὰς συστοίχους, οὐκ ἂν εἶεν αὗται περὶ τὰ σώματα μερισταί, ἀλλὰ περὶ τὴν ὕλην· εἰ δὲ τὴν φυτικὴν δύναμιν, εἴη μὲν ἂν αὕτη περὶ σώματα μεριστή· προσχρῆται γὰρ οὐ τῇ ὕλῃ τῇ ἀμόρφῳ παντελῶς, ἀλλὰ τοῖς στοιχείοις, καὶ ταῦτα συγκρίνει τε καὶ διακρίνει, καὶ περὶ ταῦτά ἐστι μεριστή. διὰ τί δὲ οὐ καὶ τὴν αἰσθητικὴν τοιαύτην ἂν εἴποιμεν καὶ τὴν ἐπιθυμητικὴν καὶ τὴν θυμικήν; ἅπασαι γὰρ περὶ σώματα καὶ ἐν σώμασι, καὶ ὅσαι αὐτῶν ἄλογοι παντελῶς καὶ ὅσαι ὑπήκοοι λόγῳ. εἰ δὲ ταύτας ἁπάσας λέγοι περὶ τὰ σώματα μεριστάς, τὴν λογικὴν ἂν λοιπὸν μόνην ψυχὴν μέσην εἶναι ποιοῖ τῆς τε ἀμερίστου καὶ τῆς περὶ τὰ
p. 11 σώματα μεριστῆς καὶ ἐκ τούτων συντεθεῖσθαι καὶ συγκεκρᾶσθαι, οὐ κυρίως λέγων τὸ συγκεκρᾶσθαι· οὐ γὰρ δήπου συμφθαρέντος τῷ ἀμερίστῳ τοῦ μεριστοῦ καὶ τὴν μὲν οἰκείαν δύναμιν ἀπολεσάντων, συστησάντων δὲ ἐν τῷ κράματι ποιότητα ἰδιάζουσαν, οὕτω γέγονεν ἡ ψυχή, ἀλλ' ὅτι ἡ φύσις τῆς λογικῆς ψυχῆς νοῦ μέν ἐστι φαυλοτέρα τῶν δὲ ἀλόγων δυνάμεων πολὺ βελτίων, ἔχουσα πρὸς ἑκάτερα συγγένειαν, ὥσπερ καὶ τὰ κεκραμένα πρὸς τὰ στοιχεῖα ἐξ ὧν ἐκράθη. καὶ διὰ τοῦτο χρῆσθαι δύο δυνάμεσι πρὸς κατάληψιν τῶν ὄντων τῇ τε ταὐτοῦ καὶ τῇ θατέρου. ὅταν μὲν γὰρ τὰ γένη καὶ τὰ εἴδη συνάγῃ, τὴν ταὐτότητα ἀνιχνεύει· ὅταν δὲ τὰς διαφορὰς προσλαμβάνῃ, τὴν ἑτερότητα ἐξευρίσκει. ἃς καὶ αὐτὰς ἀπὸ τῶν στοιχείων ἐρανίζεται, τὴν ταὐτοῦ μὲν ἀπὸ τῆς ἀμερίστου φύσεως, τὴν θατέρου δὲ ἀπὸ τῆς μεριστῆς. οὕτω μὲν οὖν καὶ ὁ Τίμαιος τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ, καὶ μήποτε ὅπερ εἴρηται οὐ πᾶσαν ἀλλὰ τὴν λογικὴν μόνην, ἥπερ ἂν εἴη καὶ τοῦ κόσμου ψυχή· τὰς γὰρ παθητικὰς δυνάμεις ὕστερον προσυφῆναί φησι τοὺς δευτέρους θεούς, τοὺς τῶν θνητῶν ζώων δημιουργούς. ἀλλ' ὅτι γε καὶ αὐτὸς προσεδεήθη τῶν στοιχείων εἰς τὴν σύστασιν τῆς ψυχῆς, ἵνα γινώσκειν ἔχοι τοῖς ὁμοίοις τὰ ὅμοια, δῆλόν ἐστιν.

Ὁμοίως δὲ καὶ ἐν τοῖς Περὶ φιλοσοφίας διώρισται αὐτὸ μὲν τὸ ζῷον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας εἶναι καὶ τοῦ πρώτου μήκους καὶ πλάτους καὶ βάθους, τὰς δ' ἄλλας ὁμοιοτρόπως. τὴν γὰρ ἀσώματον φύσιν τοῦ μὲν συνεχοῦς ποσοῦ πόρρωθεν εἶναι παντάπασιν ὑπελάμβανον οἱ ἄνδρες ἐκεῖνοι, ἅτε ἐν ὄγκῳ μὴ ὑφεστῶσαν, τοῦ διωρισμένου δὲ οἰκείαν εἶναι· πλῆθος γὰρ καὶ ἐκείνης εἶναι τῆς φύσεως ἐξ ἑνάδων ἀληθινῶν συντεθειμένον ὑπενόουν, οὐχ οἵαις ἡμεῖς χρώμεθα ἐπὶ τῶν σωμάτων μονάσιν, ὧν οὐδὲν

p. 11. 12-13 *ibid.*
p. 11. 15 φησι Plat., *Tim.* 41 C-D.
p. 11. 18-20 Arist., *De an.* 404 b 18-21.

ἐστιν ἓν ἀκριβῶς, ἀλλὰ πλείω, μᾶλλον δὲ ἄπειρα· διὸ καὶ εἰδητικὸν ἐκάλουν τοῦτον τὸν ἀριθμὸν ἅτε συγκείμενον ἐξ εἰδῶν, καὶ τοὺς ἀριθμοὺς ἐκείνους εἴδη τῶν ὄντων ἐτίθεντο· 'ἀριθμῷ δέ τε πάντ' ἐπέοικε'. τοῦ μὲν οὖν αὐτοζώου, τουτέστι τοῦ κόσμου τοῦ νοητοῦ, στοιχεῖα τὰ πρῶτα ἐποίουν τῶν εἰδητικῶν ἀριθμῶν τὴν τοῦ ἑνὸς ἰδέαν καὶ τὴν τῆς πρώτης δυάδος καὶ τὴν τῆς πρώτης τριάδος καὶ τὴν τῆς πρώτης τετράδος· ἐπειδὴ γὰρ ἐν τῷ νοητῷ κόσμῳ δεῖ πάντως τὰς ἀρχὰς παρεμφαίνεσθαι τοῦ αἰσθητοῦ, ὁ δὲ αἰσθητὸς ἐκ μήκους ἤδη καὶ πλάτους καὶ βάθους, τοῦ μὲν μήκους ἰδέαν εἶναι τὴν πρώτην ἀπεφήναντο δυάδα· ἀπὸ γὰρ ἑνὸς ἐφ' ἓν τὸ μῆκος, τουτέστιν ἀπὸ σημείου ἐπὶ σημεῖον· τοῦ δὲ μήκους ἅμα καὶ πλάτους τὴν πρώτην τριάδα· πρῶτον γὰρ τῶν ἐπιπέδων σχημάτων ἐστὶ τὸ τρίγωνον· τοῦ δὲ μήκους καὶ πλάτους καὶ βάθους τὴν πρώτην τετράδα· πρῶτον γὰρ τῶν στερεῶν ἐστὶν ἡ πυραμίς. ταῦτα δὲ ἅπαντα λαβεῖν ἔστιν
p. 12 ἐκ τῶν Περὶ φύσεως Ξενοκράτους. τὸ μὲν οὖν αὐτοζῷον, τουτέστι τὸν κόσμον τὸν νοητόν, ἐκ τῶν πρώτων ἐποίουν ἀρχῶν, τὰ δὲ ἐπὶ μέρους ἐκ τῶν ὑφειμένων· ὥσπερ γὰρ τὰ αἰσθητὰ ἔχει πρὸς ἄλληλα, οὕτω καὶ τὰς ἰδέας αὐτῶν πρὸς ἀλλήλας ἔχειν.

Ἔτι δὲ καὶ ἄλλως τὸν αὐτὸν τοῦτον λόγον μετῆεσαν· ἐπειδὴ γὰρ ἡ ψυχὴ πλείοσι δυνάμεσι χρῆται εἰς κατάληψιν τῶν ὄντων, νῷ καὶ ἐπιστήμῃ καὶ δόξῃ καὶ αἰσθήσει, τὸν μὲν νοῦν ἔχειν ἐκ τῆς τοῦ ἑνὸς ἰδέας αὐτὴν διωρίζοντο, τὴν δὲ ἐπιστήμην ἐκ τῆς πρώτης δυάδος· ἀφ' ἑνὸς γὰρ ἐφ' ἓν καὶ ἡ ἐπιστήμη, ἀπὸ γὰρ τῶν προτάσεων ἐπὶ τὸ συμπέρασμα· τὴν δόξαν δὲ ἐκ τῆς πρώτης τριάδος, ὅσος ἦν καὶ τοῦ ἐπιπέδου ἀριθμός· τῆς γὰρ δόξης ἤδη καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐκ τῶν προτάσεων· αἴσθησιν δὲ ἀπὸ τῆς πρώτης τετράδος, ἐξ ἧς καὶ ἡ τοῦ στερεοῦ σώματος ἰδέα· περὶ γὰρ τὸ τοιοῦτον σῶμα ἡ αἴσθησις.

Τῶν μὲν γὰρ ὄντων ἁπάντων ἀρχὴ τὰ εἴδη καὶ ὁ εἰδητικὸς ἀριθμός, αὐτοῦ δὲ τοῦ ἀριθμοῦ στοιχεῖα τὸ ἓν καὶ ἡ δυὰς ἡ ἀόριστος ἣν ὑπετίθεσαν τῷ ἑνὶ πρὸς γένεσιν τοῦ πλήθους τῶν ἀριθμῶν· ἐξ αὐτοῦ μὲν γὰρ τοῦ ἑνός, εἴπερ ἓν εἴη τῷ ὄντι, οὐδὲν ἂν ἕτερον παραχθείη, πλήθους δὲ ἐν τοῖς εἴδεσιν ὄντος δεῖ φύσεως ἑτέρας ὑποκειμένης τῷ ἑνί, παρ' ἧς τὸ πλῆθος, ἣν ἀόριστον δυάδα ἐκάλουν· δυάδα μὲν ὅτι μεριστὴ καὶ πλήθους ἤδη ποιητική, ἀόριστον δὲ ὅτι μὴ εἶχεν οἰκεῖον ὅρον, ἀλλὰ παρὰ τοῦ ἑνὸς αὐτῇ ὁ ὅρος ἑκάστου εἴδους ἐχορηγεῖτο, καὶ ταύτης τῷ ἑνὶ παρυποστάσης τῆς φύσεως οὕτω πληθυνθῆναι τὸν εἰδητικὸν ἀριθμόν, καὶ ταύτης εἶναι εἰκόνα τὴν ἐν τοῖς σώμασιν ὕλην, ὥσπερ τοῦ ἑνὸς τὸ ἔνυλον εἶδος. τὴν οὖν ψυχὴν συγκειμένην ἐκ τῶν

---

p. 12. 5-13 Cf. Arist., *De an.* 404 b 21-24.

αὐτῶν ἀρχῶν ἐξ ὧνπερ ὁ εἰδητικὸς ἀριθμός, συγκειμένην δὲ οὐ τῷ κεκρᾶσθαι ἀλλὰ τῷ μέσην ἔχειν τάξιν ὑπὸ μὲν τοῦ ἑνὸς παραχθεῖσαν, τὴν δὲ περὶ τὰ σώματα μεριστὴν φύσιν παραγαγοῦσαν· συγκειμένην οὖν ἐκ τῶν αὐτῶν ἀρχῶν τοῖς εἰδητικοῖς ἀριθμοῖς εἰκότως γιγνώσκειν τὰ ὄντα.

Οὕτω μὲν οὖν καὶ ὁ παρὰ Πλάτωνι Τίμαιος καὶ αὐτὸς Πλάτων ἐκ τῆς πρὸς τὰς ἀρχὰς συγγενείας τῇ ψυχῇ τῶν ὄντων τὴν κατάληψιν ἀποδιδόασιν.

Ἦσαν δ' ἕτεροι οἱ καὶ τὰ δύο ἅμα συμπλέκοντες εἰς τὴν ἀπόδοσιν τῆς ψυχῆς, τό τε κινεῖν καὶ τὸ γιγνώσκειν, ὡς ὁ τὴν ψυχὴν ἀποφηνάμενος ἀριθμὸν κινοῦντα ἑαυτόν, διὰ μὲν τοῦ ἀριθμοῦ τὴν γνωστικὴν δύναμιν ἐνδεικνύμενος, διὰ δὲ τοῦ κινεῖν ἑαυτὸν τὴν κινητικήν.

IV

Simplicius, *In de an.* 404 b 18-30, pp. 28. 5-30. 24 Hayduck; cf. *supra*, pp. 43 s.

p. 28 p. 404 b 18 Ὁμοίως δὲ καὶ ἐν τοῖς Περὶ φιλοσοφίας λεγομένοις διωρίσθη.

Περὶ φιλοσοφίας νῦν λέγει τὰ Περὶ τοῦ ἀγαθοῦ αὐτῷ ἐκ τῆς Πλάτωνος ἀναγεγραμμένα συνουσίας, ἐν οἷς ἱστορεῖ τάς τε Πυθαγορείους καὶ Πλατωνικὰς περὶ τῶν ὄντων δόξας.

p. 404 b 19 Αὐτὸ μὲν τὸ ζῷον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μήκους καὶ πλάτους καὶ βάθους.

Ὁ μὲν Ἀριστοτέλης τὸ φαινόμενον ἀεὶ εἰωθὼς ἱστορεῖν καὶ ἐλέγχειν καὶ τὰ ὀνόματα κατὰ τὴν τῶν πολλῶν συνήθειαν ἐκδέχεσθαι εἴωθεν, ἀλλ' οὐ τῇ πραγματειώδει τῶν ἀνδρῶν * * * ἀναιρεῖν αὐτὴν τὴν ἀλήθειαν, ἀλλὰ μόνον τὴν τῶν ὀνομάτων κατάχρησιν, ἀπατωμένους τε ἤδη τινὰς ὁρῶν, καὶ ἐπ' ἀριθμούς τε τοὺς μαθηματικοὺς καὶ ἐπὶ μεγέθη φερομένους τὰ γεωμετρικά. οἱ δὲ ἄνδρες τὰς λεωφόρους ἐκτρεπόμενοι καὶ ἐν ἀπορρήτοις μόνοις τοῖς ἀξίοις παραδιδόντες τὴν φιλοσοφίαν πρὸς τοὺς ἄλλους διὰ τῶν μαθηματικῶν αὐτὴν ἐνεδείκνυντο ὀνομάτων. καὶ σαφέστερον μὲν ἡ τῶν ἀνδρῶν ἔννοια ἐν τοῖς εἰς τὰ Μετὰ τὰ φυσικά μοι γεγραμμένοις διήρθρωται. νῦν δὲ ὅσον πρὸς μόνην τὴν τῶν προκειμένων ῥητῶν ἐξήγησιν ἐπιμνησθῆναι ἀνάγκη λέγωμεν. ἀριθμοὺς λέγοντες τὰ εἴδη ὡς πρῶτα διακεκριμένα τῆς ἀμερίστου ἑνώσεως (τὰ γὰρ ὑπερείδεα καὶ ὑπὲρ διάκρισιν) τὸ μὲν παντελὲς

p. 12. 30 Cf. Arist., *De an.* 404 b 28-30.

τῶν εἰδῶν πλῆθος διὰ τῆς δεκάδος ᾐνίττοντο. τὰς δὲ πρώτας εἰδητικὰς ἀρχὰς πρώτῃ μὲν μονάδι καὶ δυάδι ὡς οὐδὲ ἀριθμοῖς, πρώτῃ δὲ τρίαδι καὶ τετράδι ὡς πρώτοις ἀριθμοῖς τῇ μὲν περιττῶν τῇ δὲ ἀρτίων· ἐξ ὧν κατὰ συναγωγὴν ὁ δέκα γίνεται ἀριθμός. μετὰ δὲ τοὺς ἀριθμοὺς ἐν ζωαῖς δευτέραις καὶ πολλοσταῖς τὰ γεωμετρικὰ πρὸ τῶν φυσικῶν ὑποτιθέμενοι μεγέθη, καὶ ταῦτα ὡς εἰς αἰτίους τοὺς εἰδητικοὺς ἀνῆγον ἀριθμοὺς καὶ τὰς τούτων ἀρχάς· τὸ μὲν σημεῖον ὡς ἀμερὲς εἰς τὴν μονάδα, τὴν δὲ γραμμὴν ὡς πρώτην διάστασιν εἰς τὴν δυάδα, καὶ τὴν ἐπιφάνειαν αὖ ὡς ἐπὶ πλέον διαστᾶσαν εἰς τὴν τριάδα, εἰς δὲ τὴν τετράδα τὸ στερεόν. καὶ ἐκάλουν, ὡς ἐκ τῶν ὑπ' Ἀριστοτέλους λεγομένων τεκμαίρεσθαι, τὴν δυάδα πρῶτον μῆκος (οὐ γὰρ ἁπλῶς μῆκος, ἀλλὰ τὸ πρῶτον, ἵνα τὸ αἴτιον σημαίνωσιν),
p: 29 ὡσαύτως δὲ καὶ πρῶτον πλάτος τὴν τριάδα καὶ πρῶτον βάθος τὴν τετράδα. ἀνῆγον δὲ εἰς τὰς εἰδητικὰς ἀρχὰς καὶ τὰς ψυχικὰς πάσας γνώσεις, τὴν μὲν νοερὰν ὡς καθ' ἕνωσιν ἀμέριστον συναιρουμένην εἰς τὴν μονάδα, τὴν δὲ ἐπιστημονικὴν ὡς ἀνελισσομένην καὶ ὡς ἀπὸ ἑτέρου τοῦ αἰτίου εἰς τὸ αἰτιατὸν προαγομένην, ὡς δὲ καὶ διὰ τὸ ἀπλανὲς καὶ ἀεὶ διὰ τῶν αὐτῶν ὁδεῦον εἰς τὴν δυάδα, τὴν δὲ δόξαν εἰς τὴν τριάδα διὰ τὸ τὴν δύναμιν αὐτῆς μὴ ἐπὶ τὸ αὐτὸ ἀεί, ἀλλὰ τοτὲ μὲν ἐπὶ τὸ ἀληθὲς τοτὲ δὲ ἐπὶ τὸ ψεῦδος κλίνειν, εἰς δὲ τὴν τετράδα τὴν αἴσθησιν διὰ τὸ σωμάτων εἶναι ἀντιληπτικήν. καὶ γὰρ ἐν μὲν τῇ δυάδι μίαν <εἶναι> ἀφ' ἑκατέρας μονάδος πρὸς τὴν λοιπὴν διάστασιν, ἐν δὲ τῇ τριάδι δύο ἐξ ὁποιασοῦν πρὸς τὰς λοιπάς, ἐν δὲ τῇ τετράδι τρεῖς. ἀνῆγον τοίνυν εἰς τὰς ἀρχὰς τά τε γνωστὰ πάντα, τουτέστι τὰ ὄντα, καὶ τὰς γνωστικὰς τούτων δυνάμεις. διῄρουν δὲ τά τε ὄντα οὐ κατὰ πλάτος, ἀλλὰ κατὰ βάθος εἴς τε τὰ νοητὰ καὶ ἐπιστητὰ καὶ δοξαστὰ καὶ αἰσθητά, καὶ ὁμοίως τὰς γνώσεις εἰς νοῦν καὶ ἐπιστήμην καὶ δόξαν καὶ αἴσθησιν. τὸ μὲν οὖν αὐτοζῷον ἐκ τῆς τῶν γνωστῶν εἴληπται διαιρέσεως, τὸν νοητὸν δηλοῦν διάκοσμον, ἐν ᾧ τὰ αὐτοειδῆ, τουτέστι τὰ πρώτιστα καὶ αἱ τούτων ἀρχαί, ἡ τοῦ αὐτοενὸς ἰδέα ἥ τε τοῦ πρώτου μήκους, ἥτις ἦν ἡ αὐτοδυάς, ἥτε τοῦ πρώτου πλάτους καὶ ἡ τοῦ πρώτου βάθους (κατὰ κοινοῦ γὰρ τὸ πρῶτον ἐπὶ πάντων συναρμοστέον), τουτέστιν ἡ αὐτοτριὰς καὶ ἡ αὐτοτετράς. τὰ δὲ ἄλλα ὁμοιοτρόπως φησί, τὰ λοιπὰ λέγων τῆς τῶν γνωστῶν διαιρέσεως τὰ ἐπιστητὰ τὰ δοξαστὰ τὰ αἰσθητά, ἐκ τῶν ἀρχῶν μὲν καὶ ταῦτα ὄντα τῶν εἰδῶν, ἀλλ' οὐκέτι ἐκ τῶν αὐτοαρχῶν ὡς ἐκ στοιχείων, ἀλλ' ἐξ ἐκείνων μέν, ὡς ἐξῃρημένων <δὲ> αἰτίων τῶν ἑκάστοις συστοίχων.

p. 404 b 21 Ἔτι δὲ καὶ ἄλλως.

Τρόπου μὲν ἑτέρου τὸ ἄλλως σημαντικόν. δηλοῖ δὲ τὴν ἐπὶ ὄντων μὲν καὶ αὐτὴν γινομένην διαίρεσιν, οὐ μὴν ᾗ γνωστά, ἀλλ' ᾗ γνωστικά, καὶ τούτων εἰς τὰς αὐτὰς ἀνηρτημένων ἀρχάς.

p. 404 b 24 Οἱ μὲν γὰρ ἀριθμοὶ τὰ εἴδη αὐτὰ καὶ ἀρχαὶ ἐλέγοντο.

Μετὰ τὸ διελεῖν ἑκάτερα ἰδίως τά τε γνωστὰ καὶ τὰ γνωστικά, τὴν πρὸς ἄλληλα αὐτῶν ἐν τούτοις ἐπιδείκνυσιν ὁμοιότητα, ἵνα καὶ κατὰ τοὺς ἄνδρας τῷ ὁμοίῳ τὸ ὅμοιον γνωρίζηται. οἱ γὰρ ἀριθμοὶ τὰ αὐτὰ καὶ πρώτιστα εἴδη ὄντες ἦσαν μὲν ἐκ τῶν στοιχείων τοῦ αὐτοενὸς δυάδος τε καὶ τριάδος καὶ τετράδος, ἀρχαὶ δὲ ἐλέγοντο τῶν τε γνωστικῶν καὶ τῶν γνωστῶν οὐσιῶν. καὶ γὰρ τὰ οἷς κρίνεται τὰ πράγματα ταῖς στοιχειώδεσιν ὡρίζετο ἀρχαῖς, καὶ αὐτὰ τὰ γνωστὰ πράγματα, ὅτι εἴδη οἱ ἀριθμοὶ οὗτοι, τουτέστιν οἱ εἰδητικοί, καὶ αἱ τούτων στοιχειώδεις ἀρχαὶ τῶν πραγμάτων· πάντα γὰρ τὰ γνωστὰ πράγματα τοῖς εἴδεσιν ὁρίζεται, ᾗ εἴδη ἐστίν.

p. 30 p. 404 b 27 Ἐπεὶ δὲ καὶ κινητικόν γε ἐδόκει ἡ ψυχὴ εἶναι καὶ γνωριστικόν, οὕτως ἔνιοι συνέπλεξαν ἐξ ἀμφοῖν, ἀποφηνάμενοι τὴν ψυχὴν ἀριθμὸν κινοῦνθ' ἑαυτόν.

Ξενοκράτους ὁ τῆς ψυχῆς οὗτος λόγος βουλομένου τὴν μεσότητα αὐτῆς τῶν τε εἰδῶν καὶ τῶν εἰδοποιουμένων ἅμα καὶ τὸ ἴδιον αὐτῆς ἐνδείξασθαι· ὁ γὰρ ἀριθμὸς τὸ εἶδος, τὸ δὲ κινητὸν τοῖς εἰδοποιουμένοις προσήκει. ἐκ μὲν οὖν τῶν ἄκρων μονονοὺ † δηλοῖ τὸ οὔτε ἀριθμὸς ἁπλῶς ἔσται οὔτε κινητόν· τοῦ μὲν γὰρ ὑφεῖται, ᾗ τοῦ ἀμερίστου ἐκβέβληται, τοῦ δέ ἐστι κρείττων, ᾗ τοῦ μεριστοῦ ὑπερέχει. τὸ συναμφότερον οὖν ἄν πως εἴη ὡς ἀμφοτέροις κοινωνοῦσα, ἀριθμὸς κινητός. κατὰ δὲ τὸ οἰκεῖον τῆς μεσότητος ὑφ' ἑαυτοῦ κινητὸς λέγεται, ὅτι οὐχ ὡς διαστατική ἐστι μέση ἡ ψυχή, οἷος ὁ φυσικὸς λόγος καὶ πρὸ τούτου κατὰ τοὺς ἄνδρας ἡ μαθηματικὴ οὐσία, οὐδὲ οἷα κατὰ τὸ προϊὸν ἀπὸ νοῦ φῶς οὐσία νοερὰ μὲν ἔτι μένουσα, τῷ δὲ εἰς τὸ φανὸν καὶ σύμμετρον τοῖς ὑπὸ νοῦ καταλαμπομένοις προέρχεσθαι ἐξαγγέλλουσα τὸ μόνιμον καὶ κρύφιον τῆς νοερᾶς φύσεως, ἀλλὰ κατ' αὐτὴν τὴν ζωτικὴν ἰδιότητα ἔγερσιν καὶ ζέσιν τινὰ πάσης δηλούσης ζωῆς, ἀμέριστον μὲν καὶ ἐν ἑαυτῇ μένουσαν τῆς νοερᾶς, περὶ δὲ τὰ σώματα μεριζομένην καὶ ἑτέρωθεν εἰς ἕτερα ὑφιζάνουσαν τῆς σωματοειδοῦς, τῆς δὲ ψυχικῆς τὴν ἀφ' ἑαυτῆς εἰς † ἀνέλιξιν καὶ εἰς διάστασιν ἅμα συναγωγήν. διὰ ταῦτα μὲν οὖν ὁ Ξενοκράτης ἀριθμὸν αὐτὸν ἑαυτὸν κινοῦντα τὴν ψυχὴν ἀπεφήνατο. ὁ δὲ Ἀριστοτέλης τὸν ἀριθμὸν ὁριστικὸν προειπὼν καὶ τῶν γνωστῶν καὶ τῶν γνωστικῶν, ἐπὶ τῆς ψύχῆς εὐλόγως ὡς γνωστικὸν εἰρῆσθαι ἀκούει, καὶ διὰ τοῦτο τοὺς εἰπόντας τὴν ψυχὴν ἀριθμὸν αὐτὸν ἑαυτὸν κινοῦντα συμπλέξαι ἔφη τὸ κινητικὸν καὶ τὸν γνωστικόν.

V

Philopon, *In de an.* 404 b 16-30, pp. 74. 30-81. 31 Hayduck; cf. *supra*, pp. 44 s.

p. 74 p. 404 b 16 Τὸν αὐτὸν δὲ τρόπον καὶ Πλάτων ἐν Τιμαίῳ τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ.

Καὶ ὁ Πλάτων, φησίν, ἐκ τῶν παρ' ἑαυτῷ ἀρχῶν, ὅθεν τὰ πάντα εἶναι ἔλεγεν, ἐκ τούτων καὶ τὴν ψυχὴν εἶναι ἔλεγεν, ἵνα ἐκ τῶν αὐτῶν οὖσα πασῶν ἀρχῶν γνωρίζῃ τὰ πάντα. πέντε δὲ γένη εἶναι ἔλεγεν ἀρχὰς πάντων τῶν ὄντων, τὴν οὐσίαν, τὴν ταυτότητα, τὴν ἑτερότητα, τὴν κίνησιν, τὴν
p. 75 στάσιν. γένη δὲ ταῦτα ἔλεγεν, οὐχ οὕτω γένη ὄντα ὥσπερ τὰ παρὰ τοῖς Περιπατητικοῖς, ἅτινα διήρηται ἀπ' ἀλλήλων καὶ ἀφ' ἑκάστου σειρά τις ἐκδίδοται τῶν ὑπαλλήλων γενῶν τε καὶ εἰδῶν, ἀλλὰ γένη αὐτὰ ἐκάλεσεν ὡς διὰ πάντων τῶν ὄντων διήκοντα. ἔστι γὰρ ἐν πᾶσι καὶ οὐσία, καθ' ἣν ἑκάστου ἐστὶ τὸ εἶναι, ἔστι καὶ ταυτότης, καθὸ ἐκ μιᾶς τῆς τῶν ὄντων ἐσμὲν ἀρχῆς· ἔχομεν δὲ καὶ ἑτερότητα, ἐπειδὴ καὶ πλῆθός ἐστι τὰ ὄντα, ὅπου δὲ πλῆθος ἐκεῖ ἡ ἑτερότης. ἔστι δὲ καὶ κίνησις ἐν πᾶσι τοῖς οὖσι· κίνησιν δὲ λέγω οὐ τὴν ἀτελῆ ἐνέργειαν, ὥς φησιν ὁ Ἀριστοτέλης, ἀλλὰ τὴν ἐνέργειαν τὴν ἑκάστου· πάντα γὰρ ἔχει οἰκείαν ἐνέργειαν, καὶ αὐτὰ τὰ ἄψυχα· ἢ γὰρ θερμαίνουσιν ἢ ψύχουσιν τὰ παρακείμενα ἢ ὑγραίνουσιν ἢ ξηραίνουσιν ἢ ἄλλο τι τοιοῦτον ποιοῦσιν. καὶ ἡ στάσις δὲ ἐπὶ πάντων θεωρεῖται· καὶ γὰρ καὶ τὰ ἀεικίνητα στάσεως μετέχει, οὐ μόνον τῷ τὴν ὁλότητα ἑστάναι, ἀλλὰ καὶ αὐτὸ τὸ μένειν ἐπὶ τῆς ἀεικινησίας στάσις ἐστί· καθὸ οὖν μένουσι κινούμενα τὰ κινούμενα ἢ ἀεὶ ἢ ἐπί τινα χρόνον, κατ' αὐτὸ τοῦτο στάσεως μετέχει. ἐκ τούτων οὖν τῶν γενῶν τὴν ψυχὴν Πλάτων ποιεῖ· φησὶ γὰρ ἐξ οὐσίας τε αὐτὴν εἶναι καὶ ταυτότητος καὶ ἑτερότητος, οὐσίας δὲ οὐ τῆς τυχούσης, ἀλλὰ τῆς τε ἀμερίστου οὐσίας καὶ τῆς περὶ τὰ σώματα μεριστῆς· ἐξ ἀμφοτέρων γὰρ τούτων γενέσθαι τὴν τῆς ψυχῆς οὐσίαν φησίν, ἵνα καὶ γνωστικὴ ᾖ ἀμφοτέρων. ἀλλ' ἐπειδὴ πάντων ἡ γνῶσις ἢ ὁμοιότητί τινι καὶ ταυτότητι γίνεται ἢ ἀνομοιότητι καὶ ἑτερότητι (τὸ γὰρ λευκὸν καὶ τῇ τοῦ λευκοῦ παραθέσει γνωρίζομεν· τὸ γὰρ ὅμοιον τῷ λευκῷ λευκόν ἐστι· καὶ τῇ τοῦ μέλανος· τὸ γὰρ ἐναντίον τῷ μέλανι λευκόν), καὶ ταῦτα ἐν τῇ συστάσει αὐτῆς μεμῖχθαί φησι τῆς γε ταὐτοῦ φύσεως λέγων πέρι καὶ τῆς τοῦ ἑτέρου. ὅτι δὲ καὶ αὐτοκίνητόν φησιν αὐτήν, πρόδηλον· ἐν τούτῳ δὲ ἔχοι ἂν καὶ τὴν στάσιν. τὰ δὲ πράγματα ἐκ τῶν ἀρχῶν εἶναι, τουτέστι τὰ ὄντα, ὧν ἔχει τὴν γνῶσιν ἡ ψυχή. διὰ τοῦτο οὖν, ἐπειδὴ ἐκ τῶν αὐτῶν ἀρχῶν ἐστι τοῖς οὖσι, τὸ δὲ ὅμοιον

---

p. 75. 8 φησιν Arist., *Phys.* III 2, 201 b 31.

τοῦ ὁμοίου ἐστὶ γνωστικόν, γινώσκει τὰ πάντα. εἰ τοίνυν ἐκ τῶν αὐτῶν στοιχείων τοῖς οὖσιν ἐποίησεν τὴν ψυχήν, ἵνα γινώσκῃ τῷ ὁμοίῳ τὸ ὅμοιον, δῆλον ὡς μάλιστα ἴδιον τῆς ψυχῆς τὸ γινώσκειν καὶ οὗτος ὑπελάμβανεν.

p. 404 b 18 Ὁμοίως δὲ καὶ ἐν τοῖς Περὶ φιλοσοφίας λεγομένοις διωρίσθη.

Τὰ Περὶ τἀγαθοῦ ἐπιγραφόμενα Περὶ φιλοσοφίας λέγει· ἐν ἐκείνοις δὲ τὰς ἀγράφους συνουσίας τοῦ Πλάτωνος ἱστορεῖ ὁ Ἀριστοτέλης· ἔστι δὲ γνήσιον αὐτοῦ τὸ βιβλίον. ἱστορεῖ οὖν ἐκεῖ τὴν Πλάτωνος καὶ τῶν Πυθα-
p. 76 γορείων περὶ τῶν ὄντων καὶ τῶν ἀρχῶν αὐτῶν δόξαν. λέγει οὖν φάσκειν αὐτοὺς ὅτι τὰ εἴδη ἀριθμοί εἰσιν, ἀριθμοὶ δὲ δεκαδικοί· ἕκαστον γὰρ τῶν εἰδῶν δεκάδα ἔλεγον. ἀριθμοὺς μὲν οὖν ἐκάλουν τὰ εἴδη ἢ ὅτι, ὥσπερ ὁ ἀριθμὸς μετρεῖ καὶ ὁρίζει τὰ ὑποκείμενα, οὕτω καὶ τὰ εἴδη μετρητικά ἐστι καὶ ὁριστικὰ τῆς ὕλης (ἀόριστον γὰρ οὖσαν καθ' αὑτὴν ἐγγενόμενα ἐν αὐτῇ ὁρίζει αὐτὴν καὶ περιγράφει) ἢ ὅτι, ὥσπερ οἱ ἀριθμοὶ πάντες ἐκ μιᾶς εἰσιν ἀρχῆς τῆς μονάδος παρηγμένοι, οὕτω καὶ τὰ εἴδη ἐκ τῆς μιᾶς τῶν παντῶν ἀρχῆς παράγεται. ἀριθμοὶ μὲν οὖν διὰ τοῦτο, δεκαδικοὶ δὲ διὰ τὴν τελειότητα τῶν εἰδῶν. τέλειος γὰρ ἀριθμὸς ὁ δέκα· περιέχει γὰρ πάντα ἀριθμὸν ἐν αὑτῷ· οἱ γὰρ μετὰ τὴν δεκάδα εἰς τοὺς ἀπὸ μονάδος πάλιν ἀνακάμπτουσι· διὸ καὶ δεκὰς ἐκλήθη, οἱονεὶ δεχάς τις οὖσα. ἀρχὰς δὲ τῶν εἰδῶν τούτων ἔλεγε τὴν μονάδα καὶ δυάδα καὶ τριάδα καὶ τετράδα, διότι οἱ ἀπὸ μονάδος συντιθέμενοι μέχρι τῆς τετράδος ποιοῦσι τὸν δέκα· $\bar{\alpha}$, $\bar{\beta}$, $\bar{\gamma}$, $\bar{\delta}$ γίνεται δέκα. εἶναι οὖν ἔλεγε τὰς τετραδικὰς ταύτας ἀρχὰς καὶ κοινῶς ἐν πᾶσι τοῖς οὖσι καὶ ἰδίᾳ, ἔν τε τοῖς νοητοῖς καὶ ἐν τοῖς φυσικοῖς καὶ ἐν τοῖς αἰσθητοῖς. κοινῶς μὲν οὖν ἐπὶ πάντων μονὰς μὲν τὰ νοητά (ἀμερὴς γὰρ ἐκείνων οὐ μόνον ἡ οὐσία, ἀλλὰ καὶ ἡ ἐνέργεια, ἐν στάσει καὶ ἀκινησίᾳ θεωρουμένη) δυὰς δὲ [καὶ] ἡ ἐπιστήμη ἢ τὰ ἐπιστημονικά· ὡρισμένως γὰρ τὸ ἀπό του ἐπί τι ἔχει. ἡ γὰρ ἐπιστήμη μετάβασίς ἐστιν ἐξ ὡρισμένων εἰς ὡρισμένα· οὐκ ἔστι γὰρ ἐπιστήμη ἀόριστος· ἔνθεν γὰρ καὶ ἐπιστήμη ἐκλήθη, παρὰ τὸ ἐπὶ στάσιν ἡμᾶς ἄγειν. τριὰς δὲ τὰ φυσικὰ καὶ δοξαστά· φυσικὰ δέ φημι τὰ καθόλου ἐν τοῖς φυσικοῖς, περὶ ἃ ἡ δόξα ἔχει, ὡς καὶ ἐν Τιμαίῳ φησὶν ὁ Πλάτων „τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον", τὸ νοητὸν λέγων, „τί δὲ τὸ γινόμενον ἀεί, ὂν δὲ οὐδέποτε", τὰ ἐν τοῖς φυσικοῖς λέγων καθόλου. εἰ γὰρ ἀεὶ γίνεσθαι αὐτό φησι, καὶ γίνεται μὲν τὰ φυσικά, ἐν τούτοις δὲ τὰ μερικὰ ἐν χρόνῳ τινὶ ὄντα οὐκ ἂν λέγοιτο ἀεὶ γίνεσθαι, δῆλον ὡς περὶ τῶν καθό-

---

p. 76. 23 φησὶν Plat., *Tim.* 27 D 6.

